# TEZAUR LITURGIC

## 17 MAI

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.MUCENIC NICOLAE DE LA METSOVO

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# 17 ΜΑΪΟΥ
# ΝΙΚΟΛΑΟΣ ΝΕΟΜΑΡΤΥΣ ΜΕΤΣΟΒΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς ἐναθλήσας στεῤῥοτάτῃ καρδίᾳ, ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ Νεομάρτυς, μαρτυρικῶν ἐπάθλων κατηξίωσαι· ὅθεν ἀεὶ πρέσβευε, τῷ Σωτῆρι τῶν ὅλων, Ἅγιε Νικόλαε, πάσης ῥύεσθαι βλάβης, καὶ πειρασμῶν καὶ νόσων καὶ παθῶν, τοὺς ἀδιστάκτῳ, ψυχῇ προσιόντας σοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Νικόλε σκέπε σὴν πατρίδα. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ναμάτων πληρούμενος θεϊκῶν, ἐπόμβρησον Μάρτυς, ταῖς πρεσβείαις σου πρὸς Θεόν, τὴν δρόσον τῆς θείας εὐσπλαγχνίας, τοῖς σὲ τιμῶσι θεόφρον Νικόλαε.

Ἰάσεις πηγάζων παντοδαπάς, ἴασαι τὰ πάθη, τῶν σωμάτων καὶ τῶν ψυχῶν, Νικόλαε Μάρτυς τοῦ Κυρίου, τῶν προσιόντων τῇ θείᾳ πρεσβείᾳ σου.

Κινδύνων ἀπάλλαξον χαλεπῶν, καὶ πάσης ἀνάγκης, Νεομάρτυς καὶ ἀπειλῆς, ταῖς σαῖς πρὸς Χριστὸν ἱκετηρίαις, τοὺς ἀνυμνοῦντας τὴν θείαν σου ἄθλησιν.

*Θεοτοκίον.*

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, κεχαριτωμένη, ἀειπάρθενε Μαριάμ, νοός μου διάλυσον τὸ σκότος, τῇ φωταυγεῖ χάριτί Σου καὶ σῶσόν με.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος.*

Λαμπρυνόμενος φέγγει τῷ νοητῷ Ἅγιε, λύτρωσαι παθῶν σκοτομήνης, καὶ πάσης θλίψεως, τοὺς σὲ γεραίροντας, τῇ φωταυγεῖ σου πρεσβείᾳ, πρὸς τὸν σὲ δοξάσαντα, Μάρτυς Νικόλαε.

Ἀσθενείαις ποικίλαις περιπεσὼν Ἅγιε, τῇ σῇ καταφεύγω πρεσβείᾳ, καὶ ἀνακράζω σοι· Μάρτυς Νικόλαε, τῆς φοβερᾶς συνοχῆς με, λύτρωσον καὶ αἴτει μοι, πταισμάτων ἄφεσιν.

Ἐν τῇ σῇ εὐκληρείᾳ ἡ σὴ πατρὶς γάνυται· ὅθεν καὶ τῇ σῇ προστασίᾳ, σπεύδει καὶ κράζε σοι· Μάρτυς Νικόλαε, πολυειδῶν συμπτωμάτων, ταύτην τὴν μερίδα σου, ῥύου ἑκάστοτε.

*Θεοτοκίον.*

Σωτηρίας Σε πύλην καὶ ἀσφαλῆ ἄγκυραν, ἔχοντές Σε Κόρη ἐν πίστει, ἀναβοῶμέν Σοι· ἡμᾶς ὁδήγησον,

πρὸς σωτηρίας εἰσόδους, ἵνα πρὸς αἰώνιον, ζωὴν εἰσέλθομεν.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Νικόλαε Νεομάρτυς, τοὺς ζητοῦντας τὴν ταχινήν σου βοήθειαν, πάσης ἀνάγκης καὶ βλάβης καὶ δυσπραγίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Νικήσας ἐχθρὸν τὸν πάλαι σε πτερνίσαντα, ἀθλήσας καλῶς, ὑπὲρ Χριστοῦ Νικόλαε, αὐτοῦ ἡμᾶς ἐνίσχυσον, ἐκνικᾶν τὰ βουλεύματα ἅπαντα, καὶ ἐναρέτως βιῶσαι σοφέ, ὡς ἂν θείας δόξης ἐπιτύχωμεν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Καθελὼν τὸν πολέμιον, τῇ ὁμολογίᾳ τῇ σῇ Νικόλαε, καθελεῖν ἡμᾶς ἐνίσχυσον, τὴν ἰσχὺν παμμάκαρ τὴν ὀλέθριον.

Ἐναθλήσας στεῤῥότατα, δόξης ἠξιώθης θείας Νικόλαε· ὅθεν πρέσβευε δεόμεθα, πάσης ἐκλυτροῦσθαι ἡμᾶς θλίψεως.

Πῦρ οὐδόλως ἐπτόησε· ὅθεν τῷ πυρὶ τῶν σῶν παρακλήσεων, τῶν παθῶν ἡμῶν κατάφλεξον, Ἀθλητὰ Νικόλαε τὴν ἄκανθαν.

*Θεοτοκίον.*

Ἐκ γαστρός Σου προέδραμε, σάρκα ἐνδυσάμενος τὴν ἀνθρώπινον, ὁ Θεὸς ἀτρέπτως ἄχραντε, καὶ ἡμᾶς ἐθέωσε δι᾽ ἔλεος.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σκέπη ἀῤῥαγής, τῇ πατρίδι σου Νικόλαε, ὡς ὁπλίτης τοῦ Χριστοῦ ἔσο ἀεί, ἀποτρέπων ἐξ αὐτῆς ἐχθροῦ τὰ σκάνδαλα.

Ἤνεγκας πυρός, τὴν κατάφλεξιν Νικόλαε· και νῦν φλέξον τὴν μανίαν τοῦ ἔχθροῦ, καθ᾽ ἡμῶν ὡρυομένου ταῖς πρεσβείαις σου.

Νόσων χαλεπῶν, ἡ ἁγία Μάρτυς κάρα σου, ἰατήριον ἐδείχθης θαυμαστῶς, θεραπεύουσα Νικόλαε πᾶν νόσημα.

*Θεοτοκίον.*

Πόλις τοῦ Θεοῦ, ἐκλεκτὴ καὶ δωδεκάτειχε, Θεοτόκε ἀειπάρθενε ἁγνή, οὐρανίου ἡμᾶς πόλεως ἀξίωσον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἀκρίδων, φθοροποιῶν ἀπελαύνει, Νεομάρτυς ἡ σὺ κάρα τὰ σμήνη· ὅθεν ἡμᾶς, τῆς ἐχθροῦ τυραννίδος, τῇ ἐπισκέψει σου ῥῦσαι Νικόλαε, σώματος ἅμα καὶ ψυχῆς, τὰ πικρὰ ἀπελαύνων νοσήματα.

Τὴν φλόγα, ἀνδρειοτάτως ὑπῆλθες, καὶ θυσία τῷ Χριστῷ προσηνέχθης· ὅθεν ἡμῶν, τὰς δεήσεις προσδέχου, καὶ πάσης λύπης καὶ βλάβης ἀπάλλαξον,

Νικόλαε πάντα σῄμᾶς, τοὺς θερμόν σε προστάτην πλουτήσαντας.

Ῥυσθέντες, τῆς λοιμικῆς ἀσθενείας, Καλαῤῥύται τῇ ἁγίᾳ σου κάρᾳ, τὴν σὴν κηρύττουσι χάριν βοῶντες· ῥύου ἡμᾶς τῶν μελλόντων κακώσεων, Νικόλαε Μάρτυς Χριστοῦ, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον.

*Θεοτοκίον.*

Ἰλύος, φθοροποιῶν παθημάτων, τὴν ψυχήν μου ἀποκάθαρον Κόρη, τῆς εὐσπλαγχνίας Σου νάμασι θείοις, καὶ ἀπαθείας στολὴν ταύτην ἔνδυσον, ἵνα εἰσέλθω ἐν χαρᾷ, εἰς νυμφῶνα τὸν θεῖον δοξάζων Σε.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Νικόλαε Νεομάρτυς, τοὺς ζητοῦντας τὴν ταχινήν σου βοήθειαν, πάσης ἀνάγκης καὶ βλάβης καὶ δυσπραγίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Ταῖς τῶν αἱμάτων σου.*

Νενικηκὼς τῶν ἐχθρῶν τὴν παράταξιν, ἀθλητικῇ σου ἐνστάσει Νικόλαε, αὐτῶν τῆς ἀπάτης ἐκλύτρωσαι, καὶ ἐπηρείας καὶ πάσης στενώσεως, ἡμᾶς τοὺς θερμῶς σοι προστρέχοντας.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Νέος Μάρτυς πέφηνας, περιφανῶς ἐναθλήσας, ἐν ὑστέροις ἔτεσιν, Ἀθλητὰ Νικόλαε θείῳ ἔρωτι, καὶ λαμπρῶν ἔτυχες, ἄνωθεν ἐπάθλων· διὰ τοῦτό σου δεόμεθα· πάσης στενώσεως, καὶ ἐπιφορᾶς καὶ κακώσεως, ἀτρώτους διαφύλαττε, καὶ λοιμώδους νόσου μακάριε, τῇ μαρτυρικῇ σου, πρεσβείᾳ πρὸς Χριστὸν τὸν Λυτρωτήν, τοὺς τῇ θερμῇ ἀντιλήψει σου, πίστει καταφεύγοντας.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Δεδεγμένος τὴν χάριν λοιμικὰς ἀσθενείας ἰᾶσθαι Ἅγιε, τῆς τούτων πικρᾶς λύμης, διάσωζε ἀτρώτους, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀπερίτρεπτον τεῖχος καὶ θερμόν σε προστάτην ἔχει τὸ Μέτσοβον, Νικόλαε· διό σε, γεραίρει γηθοσύνως, καὶ βοᾷ σοι ἑκάστοτε· σκέπε τῇ σῇ ἀρωγῇ, τὴν σὴν πατρίδα Μάρτυς.

Γνώμῃ θείᾳ ἀθλήσας Ἀθλοφόρων τῶ πάλαι ὤφθης ἰσότιμος, μεθ’ ὧν ἀεὶ δυσώπει, ῥυσθῆναι Νεομάρτυς, συμφορῶν τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἐξ ἁγνῶν Σου αἱμάτων ἐσαρκώθη ὁ πάντα συστήσας νεύματι, καὶ σώζει τῆς κατάρας, Παρθένε Θεοτόκε, τῆς ἀρχαίας τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ῥείθροις ἀΰλοις, τῶν πρεσβειῶν σου τὸν ῥύπον, τῆς καρδίας μου ἀπόπλυνον παμμάκαρ, ὡς παρὰ Κυρίου, λαβὼν πλουσίαν χάριν.

Ἀγαλλιῶνται, οἱ Μετσοβῖται τῇ θείᾳ, καταφεύγοντες πρεσβείᾳ σου ἐν πίστει, καὶ σὲ ἀνυμνοῦσι, Νικόλαε θεόφρον.

Σαρκός μου τὰ πάθη, καὶ τῆς ψυχῆς τὴν ὀδύνην, θᾶττον ἴασαι Νικόλαε τρισμάκαρ, καὶ πταισμάτων αἴτει, θεόθεν μοι τὴν λύσιν.

*Θεοτοκίον.*

Ἰσχύν μοι δίδου, κατὰ παθῶν ὀλεθρίων, καὶ ἀπάλλαξον τὸν νοῦν μου ἐμπαθείας, ἵνα Σε δοξάζω, Παρθένε Θεοτόκε.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μαρτύρων τῆς εὐκλείας, κατηξιωμένος, πρὸς τὴν ὁδὸν μαρτυρίων με ἴθυνον, τῶν ἐντολῶν τοῦ Σωτῆρος, Μάρτυς Νικόλαε.

Οἱ πίστιε προσιόντες, τῇ σεπτῇ σου κάρᾳ, καὶ τῇ θερμῇ προστασίᾳ Νικόλαε, πάσης ἀνάγκης λυτροῦνται, ὑμνολογοῦντές σε.

Ὑψώσας Νεομάρτυς, τὰς σεπτάς σου χεῖρας, ὑπὲρ ἡμῶν πρὸς Χριστὸν τὸν φιλάνθρωπον, Αὐτὸν δυσώπει τοῦ σώζεσθαι ταῖς ψυχαῖς ἡμῶν.

*Θεοτοκίον.*

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Θεοτόκε, χαμαιπετῶν ἐννοιῶν τοῦ ἀλάστορος, καὶ πρὸς ἀγάπησιν θείαν, τοῦτον ἀνύψωσον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τοῦ Μετσόβου θεῖος βλαστός, καὶ στεῤῥῶν Μαρτύρων, δι᾽ ἀθλήσεως κοινωνός· χαίροις Νεομάρτυς, Νικόλαε τρισμάκαρ, ἡμῶν πρὸς τὸν Δεσπότην, πρέσβυς θερμότατος.

Ἤσχυνας ἀθλήσει σου τῇ στεῤῥᾷ, τὸν πρώην σε Μάρτυς, ἀπατήσαντα δολερῶς, καὶ Χριστὸν κηρύξας,

ἐνώπιον τυράννων, Νικόλαε Μαρτύρων, τῆς δόξης ἔτυχες.

Ἤνεγκας ἀνδρείως τὴν τοῦ πυρός, κατάφλεξιν Μάρτυς, καὶ κατέφλεξας τὸν ἐχθρόν, τῇ σῇ καρτερίᾳ, καὶ τῷ Χριστῷ προσήχθης, ὡς ἱερὸν Νικόλαε, ὁλοκαύτωμα.

Χάριν ἀναβλύζουσα δαψιλῆ, ἡ σεπτή σου κάρα, ἐνεργείᾳ τῇ θεϊκῇ, τὰς λοιμώδεις νόσους, ταχέως θεραπεύει, Νικόλαε καὶ πᾶσι, παρέχει ἴασιν.

Χαίροις τῶν ἀκρίδων ὁ ὀλετήρ· χαίροις τοῦ Μετσόβου, πολιοῦχος καὶ ἀρωγός· χαίροις Νεομάρτυς, Νικόλαε τρισμάκαρ, Νεομαρτύρων κλέος, καὶ ἐγκαλλώπισμα..

Ἔχων παῤῥησίαν πρὸς τὸν Χριστόν, δι᾽ ὃν στεῤῥοψύχως, καθυπέμεινας τὴν πυράν, πρέσβευε ἀπαύστως, Νικόλαε παμμάκαρ, ἡμᾶς πυρὸς ῥυσθῆναι, τοῦ αἰωνίζοντος.

Τὸν νέον ὁπλίτην καὶ ἀθλητήν, καὶ τὸν στεφανίτην, εὐφημήσωμεν οἱ πιστοί· τὸν ἐν τοῖς ὑστέροις, καιροῖς ἀναφανέντα, Νικόλαον τὸν νέον, Μετσόβου τὸ καύχημα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Νίκην, κατ’ ἐχθροῦ τοῦ δυσμενοῦς, καὶ κατὰ παθῶν πολυτρόπων, καὶ περιστάσεων, Ἅγιε Νικόλαε, δίδου ἑκάστοτε, ὥσπερ τάυτης φερώνυμος, τῷ πιστῷ λαῷ σου, πόθῳ καταφεύγοντι, τῇ προστασίᾳ σου, λύων συμφορῶν τὰς ὀδύνας, τοῖς σὲ Νεομάρτυς τιμῶσι, καὶ πταισμάτων ἄφεσιν αἰτούμενος.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

